UNIVERSITY OF CAMBRIDGE

# CLASSICAL TRIPOS Part I
## Paper 2

# MODERN AND MEDIEVAL LANGUAGES Part IB
## Paper GL 11

Thursday 6 June 2002 9 to 12

ALTERNATIVE PASSAGES FOR TRANSLATION FROM GREEK AUTHORS

*Answer* **all** *the questions.*

*Use a separate booklet for* **each** *Section.*

**The Examiners will give equal weight to each Section.**

*Write your* **number** (**not** *your name*) *on the cover-sheet of* **each** *Section booklet.*

**It is important to write good English.**

**You may not start to read the questions printed on the subsequent pages of this question paper until instructed that you may do so by the Invigilator**

## SECTION A

**A1** *The speaker praises the great achievements of his Athenian ancestors.*

*τίς γὰρ ἂν ἢ λόγος ἢ χρόνος ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων γὰρ πόνων καὶ φανερωτάτων ἀγώνων καὶ καλλίστων κινδύνων ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίστην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὐτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς οὐκέτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο, καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη· τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι.*

LYSIAS 2 54–57

**A2** *Agesilaus should be praised for the nobility of both his family and his city.*

*οἶδα μὲν ὅτι τῆς Ἀγησιλάου ἀρετῆς τε καὶ δόξης οὐ ῥᾴδιον ἄξιον ἔπαινον γράψαι, ὅμως δ' ἐγχειρητέον. οὐ γὰρ ἂν καλῶς ἔχοι εἰ ὅτι τελέως ἀνὴρ ἀγαθὸς ἐγένετο διὰ τοῦτο οὐδὲ μειόνων ἂν τυγχάνοι ἐπαίνων. περὶ μὲν οὖν εὐγενείας αὐτοῦ τί ἄν τις μεῖζον καὶ κάλλιον εἰπεῖν ἔχοι ἢ ὅτι ἔτι καὶ νῦν τοῖς προγόνοις ὀνομαζομένοις ἀπομνημονεύεται ὁπόστος ἀφ' Ἡρακλέους ἐγένετο, καὶ τούτοις οὐκ ἰδιώταις ἀλλ' ἐκ βασιλέων βασιλεῦσιν; ἀλλὰ μὴν οὐδὲ ταύτῃ γ' ἄν τις ἔχοι καταμέμψασθαι αὐτοὺς ὡς βασιλεύουσι μέν, πόλεως δὲ τῆς ἐπιτυχούσης· ἀλλ' ὥσπερ τὸ γένος αὐτῶν τῆς πατρίδος ἐντιμότατον, οὕτω καὶ ἡ πόλις ἐν τῇ Ἑλλάδι ἐνδοξοτάτη· ὥστε οὐ δευτέρων πρωτεύουσιν, ἀλλ' ἡγεμόνων ἡγεμονεύουσιν. τῇδέ γε μὴν καὶ κοινῇ ἄξιον ἐπαινέσαι τήν τε πατρίδα καὶ τὸ γένος αὐτοῦ· ἥ τε γὰρ πόλις οὐδεπώποτε φθονήσασα τοῦ προτετιμῆσθαι αὐτοὺς ἐπεχείρησε καταλῦσαι τὴν ἀρχὴν αὐτῶν, οἵ τε βασιλεῖς οὐδεπώποτε μειζόνων ὠρέχθησαν ἢ ἐφ' οἷσπερ ἐξ ἀρχῆς τὴν βασιλείαν παρέλαβον.*

XENOPHON *Agesilaus* 1

## SECTION B

**B1** *Telemachus tells his disguised father of the grim situation on Ithaca.*

τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτε,
μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν οὐδ' ἀπόνητο.
τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ οἴκῳ.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσι,
τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ' ἤ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.

HOMER *Odyssey* XVI 112–129

116 μαρναμένοισι: μάρναμαι 'I fight'
120 ἀπόνητο: ἀπονίναμαι 'I enjoy, have the benefit of'
124 κοιρανέουσι: κοιρανέω 'I rule'

**B2** *The fate of the Greeks after Troy.*

ΙΦΙΓΕΝΕΙΑ ΟΡΕΣΤΗΣ

Ιφ. Ἑλένη δ' ἀφῖκται δῶμα Μενέλεω πάλιν;
Ορ. ἥκει, κακῶς γ' ἐλθοῦσα τῶν ἐμῶν τινι.
Ιφ. καὶ ποῦ 'στι; κἀμοὶ γάρ τι προυφείλει κακόν.
Ορ. Σπάρτῃ ξυνοικεῖ τῷ πάρος ξυνευνέτῃ.
Ιφ. ὦ μῖσος εἰς Ἕλληνας, οὐκ ἐμοὶ μόνῃ.
Ορ. ἀπέλαυσα κἀγὼ δή τι τῶν κείνης γάμων.
Ιφ. νόστος δ' Ἀχαιῶν ἐγένεθ', ὡς κηρύσσεται;
Ορ. ὡς πάνθ' ἅπαξ με συλλαβοῦσ' ἀνιστορεῖς.
Ιφ. πρὶν γὰρ θανεῖν σε, τοῦδ' ἐπαυρέσθαι θέλω.
Ορ. ἔλεγχ', ἐπειδὴ τοῦδ' ἐρᾷς· λέξω δ' ἐγώ.
Ιφ. Κάλχας τις ἦλθε μάντις ἐκ Τροίας πάλιν;
Ορ. ὄλωλεν, ὡς ἦν ἐν Μυκηναίοις λόγος.
Ιφ. ὦ πότνι', ὡς εὖ.—τί γὰρ ὁ Λαέρτου γόνος;
Ορ. οὔπω νενόστηκ' οἶκον, ἔστι δ', ὡς λόγος.
Ιφ. ὄλοιτο, νόστου μήποτ' ἐς πάτραν τυχών.
Ορ. μηδὲν κατεύχου· πάντα τἀκείνου νοσεῖ.
Ιφ. Θέτιδος δ' ὁ τῆς Νηρῆδος ἔστι παῖς ἔτι;
Ορ. οὐκ ἔστιν· ἄλλως λέκτρ' ἔγημ' ἐν Αὐλίδι.

EURIPIDES *Iphigenia among the Taurians* 521–538

526 ἀπέλαυσα: ἀπολαύω 'I gain, derive benefit from'
529 ἐπαυρέσθαι: ἐπαυρίσκομαι 'I enjoy, get the benefit of'

**B3 Either** (*a*)

ὣς ἄρ᾽ ἔφαν, Πρίαμος δ᾽ Ἑλένην ἐκαλέσσατο φωνῇ·
"δεῦρο πάροιθ᾽ ἐλθοῦσα, φίλον τέκος, ἵζευ ἐμεῖο,
ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε—
οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν,
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν—
ὥς μοι καὶ τόνδ᾽ ἄνδρα πελώριον ἐξονομήνῃς,
ὅς τις ὅδ᾽ ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε.
ἤτοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασι,
καλὸν δ᾽ οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
οὐδ᾽ οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε."
τὸν δ᾽ Ἑλένη μύθοισιν ἀμείβετο, δῖα γυναικῶν·
"αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς ὁππότε δεῦρο
υἱέϊ σῷ ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς·
οὗτός γ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής."

HOMER *Iliad* III 161–179

**Or** (*b*)

οὐπώποτ᾽ ἐν τὠμῷ βίῳ
εὐκαιρότερον ἄνθρωπον ἀποπεπνιγμένον
ἑόρακα μικροῦ. τῆς γλυκείας διατριβῆς·
ὁ Γοργίας γάρ, ὡς τάχιστ᾽ εἰσήλθομεν,
εὐθὺς κατεπήδησ᾽ εἰς τὸ φρέαρ, ἐγὼ δὲ καὶ
ἡ παῖς ἄνωθεν οὐδὲν ἐποοῦμεν· τί γὰρ
ἐμέλλομεν; πλὴν ἡ μὲν αὑτῆς τὰς τρίχας
ἔτιλλ᾽, ἔκλα᾽, ἔτυπτε τὸ στῆθος σφόδρα,
ἐγὼ δ᾽ ὁ χρυσοῦς, ὡσπερεὶ νὴ τοὺς θεοὺς
τροφὸς παρεστώς, ἐδεόμην γε μὴ ποεῖν
τοῦθ᾽, ἱκέτευον, ἐμβλέπων ἀγάλματι
οὐ τῷ τυχόντι. τοῦ δὲ πεπληγμένου κάτω
ἔμελεν ἔλαττον ἤ τινός μοι, πλὴν ἀεὶ
ἕλκειν ἐκεῖνον· τοῦτ᾽ ἐνώχλει μοι σφόδρα.
μικροῦ γε νὴ Δί᾽ αὐτὸν εἰσαπολώλεκα·
τὸ σχοινίον γὰρ ἐμβλέπων τῇ παρθένῳ
ἀφῆκ᾽ ἴσως τρίς. ἀλλ᾽ ὁ Γοργίας Ἄτλας
ἦν οὐχ ὁ τυχών· ἀντεῖχε καὶ μόλις ποτὲ
ἀνενήνοχ᾽ αὐτόν.

MENANDER *Dyskolos* 667–685

**Or** (*c*)

*νῦν δέ σε μὲν τάχα γῆρας ὁμοίιον ἀμφικαλύψει*
*νηλειές, τό τ' ἔπειτα παρίσταται ἀνθρώποισιν,*
*οὐλόμενον καματηρόν, ὅ τε στυγέουσι θεοί περ.*
*αὐτὰρ ἐμοὶ μέγ' ὄνειδος ἐν ἀθανάτοισι θεοῖσιν*
*ἔσσεται ἤματα πάντα διαμπερὲς εἵνεκα σεῖο,*
*οἳ πρὶν ἐμοὺς ὀάρους καὶ μήτιας, αἷς ποτε πάντας*
*ἀθανάτους συνέμιξα καταθνητῇσι γυναιξί,*
*τάρβεσκον· πάντας γὰρ ἐμὸν δάμνασκε νόημα.*
*νῦν δὲ δὴ οὐκέτι μοι στόμα χείσεται ἐξονομῆναι*
*τοῦτο μετ' ἀθανάτοισιν, ἐπεὶ μάλα πολλὸν ἀάσθην*
*σχέτλιον οὐκ ὀνοταστόν, ἀπεπλάγχθην δὲ νόοιο,*
*παῖδα δ' ὑπὸ ζώνῃ ἐθέμην βροτῷ εὐνηθεῖσα.*
*τὸν μὲν ἐπὴν δὴ πρῶτον ἴδῃ φάος ἠελίοιο,*
*νύμφαι μιν θρέψουσιν ὀρεσκῷοι βαθύκολποι,*
*αἳ τόδε ναιετάουσιν ὄρος μέγα τε ζάθεόν τε·*
*αἵ ῥ' οὔτε θνητοῖς οὔτ' ἀθανάτοισιν ἕπονται·*
*δηρὸν μὲν ζώουσι καὶ ἄμβροτον εἶδαρ ἔδουσι*
*καί τε μετ' ἀθανάτοισι καλὸν χορὸν ἐρρώσαντο.*

HOMERIC HYMN TO APHRODITE 244–261